## ΚΛΙΣΙΣ ΔΕΥΤΕΡΑ.

Τοῦ μὲν σώματος σῖτος τροφὴ, τῆς δὲ ψυχῆς λόγος.—Κάτοπτρον εἴδους χαλκός ἐστιν[13], οἶνος δὲ νοῦ.—Τὸ θεῖον[14] μισεῖ τοὺς κακούς. Οὐ χρυσοῖς δ᾽ ἀνδριάσιν οὐδ᾽ ἀναθήμασιν εὐδοκεῖ ἀργυροῖς, ἀλλὰ φρεσὶ καθαραῖς.—Ὁ πλοῦτος θνητὸς, ἡ δόξα ἀθάνατος.—Δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν[1].—Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι[15] πρὸς τοὺς διδάσκειν[15] τι χρήσιμον ἐπαγγελλομένους. — Μειράκιον πλούσιον καὶ ἀπαίδευτον χρυσοῦν ἐστιν ἀνδράποδον.—Πλουσιώτατός ἐστιν ὁ ἐλαχίστοις ἀρκούμενος. — Οἱ ἀγαθοὶ οὐ μακροῦ βίου, ἀλλὰ λαμπροῦ δέονται.—Οἱ μοχθηροὶ τῶν ἀνθρώπων οὐχ οὕτως ἥδονται ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς[16], ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.—Ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοὶ, ἐκεῖ καὶ νόσοι πλεῖσται[20].—Κρεῖττον[1] στρατόπεδον ἐλάφων, λέοντος στρατηγοῦντος, ἢ[17] λεόντων, ἐλάφου ϛρατηγούσης.—Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. — Λύκῳ καὶ ἵππῳ συννόμῳ[8] ἐστόν· λέαινα δὲ καὶ λέων οὐ τὴν αὐτὴν ὁδὸν ἴασιν.—Αἱροῦνται οἱ λαγῷ ὑπὸ ἀλωπέκων, τοτὲ[18] μὲν δρόμῳ, τοτὲ δὲ τέχνῃ. — Εἰρήκασί τινες τὸν ἥλιον λίθον εἶναι[25] καὶ μύδρον διάπυρον. — Οὐ μόνος ὁ πλοῦτος τυφλός[1], ἀλλὰ καὶ ἡ ὁδηγὸς αὐτοῦ τύχη.—Ἡ Ἀττικὴ εὔγεως μὲν οὐκ ἦν, εὔανδρος[19] δέ.—Ὁ Ἄκραθως ἀκρωτήριον τοῦ Ἄθω ἐστί.

## ΤΡΙΤΗ ΚΛΙΣΙΣ.

Οὐ κτῆσις πολλὴ ἀλλὰ χρῆσις καλὴ περιποιεῖ πλοῦτον. — Ἄλκιμοι θῆρες οἱ λέοντες[20]. — Ἀργία μήτηρ κακίας. — Ὁ δειλὸς τῆς πατρίδος προδότης ἐστίν. — Σταγόνες ὕδατος πέτρας κοιλαίνουσι. — Ἀρχὴ[1] τὸ ἥμισυ τοῦ παντός. — Δεῖ σε[21] ἀρχόμενον, τοῦ τέλους[22] στοχάζεσθαι. — Γνώμη φρενὸς κρείσσων ἐστὶν ἢ[17] ῥώμη χειρῶν. — Δάνειόν ἐστι τὸ τῆς σελήνης σέλας. — Οἱ ἀγαθοὶ ἄνδρες θεῶν εἰκόνες εἰσί. — Κάλλιστον χρῶμα[1] τὸ τῆς αἰδοῦς ἐρύθημα. — Πόλεως ψυχὴ οἱ νόμοι[1]. Σῶμα γὰρ θνήσκει ἄνευ ψυχῆς, καὶ πόλις ἄνευ νόμων. — Σώφρονι γυναικὶ αὐτάρκης κόσμος[1] ἡ τοῦ ἀνδρὸς ἀρετή. — Τίμα τοὺς γονεῖς, σέβου τὸν βασιλέα· πατὴρ γὰρ ἔθνους ὁ βασιλεύς ἐστι. — Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. — Χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα[23] οὐκ ἔχουσαν. — Ἡ φύσις ἄνευ μαθήσεως τυφλόν[24], ἡ δὲ μάθησις ἄνευ φρονήσεως ἐλλιπές[24]. — Ὁμονοούντων ἀδελφῶν συμβίωσις παντὸς τείχους[7] ἰσχυροτέρα. — Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ[25], ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰδεῖσθαι. — Κέρδη πονηρὰ

13) Μετάβαλε τὴν περίοδον οὕτω: χαλκός ἐστι κάτ. εἴδους. Οἱ καθρέπται τῶν ἀρχαίων ἦσαν ἐκ χαλκοῦ ἐστιλβωμένου. 14) Αντὶ ὁ Θεός. 15) Ἀπαρ. τελ. Νά. 16) Κ. §. 458. Ἐπὶ, β΄. 3. 17) Κ. §. 342 ά. 18) Ἄλλοτε. 19) Καλοὺς ἄνδρας ἔχουσα. 20) Εἰσί. 21) Ὑποκείμενον τοῦ ἀπαρεμφάτου. 22) Συντακτικὴ τοῦ στ. περὶ τοῦ τ. 23) Οὖς. 24) Ὑπεννοεῖται χρῆμά ἐστι. 25) Εἰμί.